ἐστιν, ὅτι ἡ ἐπὶ τὸ χεῖρον μεταβολὴ κυριώτερον ἔχει τὸ τοῦ πάθους ὄνομα, ὥσπερ ἡ λύπη κυριώτερον λέγεται πάθος ἢ ἡ χαρά. Εἰ δὲ λέγοιτο, ὅτι τὸ πάσχειν τῆς ὕλης ἐστὶν ἴδιον, ἡ δὲ ψυχὴ οὐκ ἐξ ὕλης, ἀλλ' ἡ ψυχή, εἰ καὶ μὴ σύνθετος ἐξ ὕλης, ἀλλ' ἔχει τὸ δυνάμει· τῷ δὲ δυνάμει ὄντι παντὶ προσήκει τὸ πρῶτον σημαινόμενον τοῦ πάθους, οὐ τῇ ὕλῃ μόνον, ὥσπερ τὸ δεύτερον σημαινόμενον ἴδιον τῆς ὕλης ἐστί. Καὶ εἰ λέγοιτο, ὅτι τὸ πάθος κίνησις, ἡ δὲ ψυχὴ οὐ κινεῖται, ἐροῦμεν ὅτι, εἰ καὶ μὴ προσήκει αὐτῇ καθ' αὑτήν, ἀλλὰ κατὰ συμβεβηκός, ὡς ἐν πρώτῳ τῶν περὶ ψυχῆς εἴρηται. Καὶ εἰ λέγοιτο, ὅτι τὸ πάθος ὁδός ἐστιν ἐπὶ φθοράν, ἐροῦμεν ὅτι τὸ μετὰ τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς· τοῦτο δὲ οὐχ ἁρμόζει τῇ ψυχῇ εἰ μὴ κατὰ συμβεβηκός, καθ' αὑτὸ δὲ τῷ συνθέτῳ, ὅτι φθαρτόν ἐστιν.

2. Δεύτερον, ὅτι τὸ πάθος μᾶλλόν ἐστιν ἐν τῷ ὀρεκτικῷ ἢ τῷ ἀντιληπτικῷ τῆς ψυχῆς· στέρησις γάρ τίς ἐστιν, ἥ ἐστιν ἐν δυνάμει ὄντος τινός, αὕτη δὲ ἐν ταῖς ἀρχαῖς καὶ τοῖς πρώτοις ὀλίγη εὑρίσκεται· ἐν δὲ τῷ ἀποχωρεῖν τοῦ πρώτου ἐπιτείνεται· ἡ δὲ ἀντιληπτικὴ προτέρα ἐν ψυχῇ τῆς ὀρεκτικῆς.

3. Τρίτον, ὅτι μᾶλλον ἐν τῷ αἰσθητικῷ ὀρεκτικῷ ἢ ἐν τῷ νοερῷ ὀρεκτικῷ. Εἰ δὲ ὁ Διονύσιος λέγει „παθὼν τὰ θεῖα", ἀλλὰ τὴν περὶ τὰ θεῖα διάθεσιν δι' ἔρωτος λέγει ἄνευ τινὸς σωματικῆς μεταβολῆς.

f. 98v

## XXIII. — Περὶ τῆς πρὸς ἀλλήλων τῶν παθῶν διαφορᾶς.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι οὐ τὰ αὐτὰ πάθη εἰσὶν ἔν τε τῷ θυμικῷ καὶ ἐπιθυμητικῷ· τῶν γὰρ διαφόρων δυνάμεων διάφοροι τῷ εἴδει καὶ αἱ ἐνέργειαι· τὰ δὲ πάθη τῆς αἰσθητικῆς ἐφέσεως κίνησις εἰσίν· δύο δὲ δυνάμεις, τὸ ἐπιθυμητικὸν καὶ θυμικόν, αὐτὴν διαιροῦσιν· τίνα δέ εἰσιν ἑκατέρου πάθη, ἐκ τοῦ ἀντικειμένου ἑκατέρου ληψόμεθα. Ὅσα γὰρ πάθη ἐκ τοῦ ἀγαθοῦ ἢ κακοῦ εἰσιν ἀπολελυμένως, ἐπεὶ οὕτως ἀντικείμενόν εἰσι τῆς ἐπιθυμητικῆς δυνάμεως, εἰς τὴν ἐπιθυμίαν ἀνήκει, ὡς ἡδονὴ καὶ λύπη. Ὅσα δὲ ἀφορῶσιν εἰς τὸ αἰσθητὸν ἀγαθὸν ἢ κακὸν οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸν λόγον τοῦ δυσχεροῦς, καθόσον ἐστὶ τευκτὸν ἢ φευκτὸν μετά τινος δυσχερείας, ἀνήκουσιν εἰς τὸ θυμικόν, οἷον ἡ τόλμη, ὁ φόβος, ἡ ἐλπὶς καὶ τὰ τοιαῦτα. Τελευτῶσι μέντοι τὰ τοῦ θυμικοῦ πάθη πάντα πρὸς τὰ τοῦ ἐπιθυμητικοῦ· τοῖς γὰρ ζῴοις ἡ θυμικὴ δέδοται δύναμις, ἵνα ἀναιρῇ τὰ κωλύματα, δι' ὧν τὸ ἐπιθυμητικὸν τοῦ ἀντικειμένου εἴργεται ἢ διὰ τὴν δυσχέρειαν οὗ δεῖ τυχεῖν ἀγαθοῦ, ἢ διὰ τὴν δυσκολίαν οὗ δεῖ ὑπερέχειν κακοῦ.

2. Δεύτερον, ὅτι ἔστιν ἐν τῇ ψυχῇ πάθος, ᾧ οὐδέν ἐστιν ἐναντίον κατ' ἐναντιότητα προσχωρήσεως ἢ ἀποχωρήσεως, ἢ κατ' ἐναντιότητα ἀγαθοῦ καὶ κακοῦ. Ἡ γὰρ τῆς ὀργῆς κίνησις οὐ δύναται ἔχειν τινὰ κίνησιν ἐναντίαν, ἀλλὰ μόνον ἡ τῆς κινήσεως παῦσις ἀντίκειται ταύτῃ, ὥς φησιν

10 ὅτι τὸ sic A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ Φιλόσοφος ἐν τῇ ῥητορικῇ, ὅτι τὸ πραΰνεσθαι ἀντίκειται τῷ ὀργίζεσθαι οὐχ ὡς ἐναντίον ἀλλ' ἀποφατικῶς ἢ στερητικῶς.

3. Τρίτον, ὅτι δύνανται εἶναι ἔν τινι δυνάμει τῆς ψυχῆς πάθη εἴδει διαφέροντα καὶ μὴ ἐναντία, ὡς ὁ ἔρως καὶ ἡ εὐφροσύνη ἐν τῷ ἐπιθυμητικῷ, ὧν θάτερον θατέρου αἴτιον.

## XXIV. — Περὶ τοῦ ἐν τοῖς πάθεσιν ἀγαθοῦ καὶ κακοῦ.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὸ ἀγαθὸν καὶ κακὸν ἔνεστι τοῖς πάθεσι τῆς ψυχῆς ἠθικῶς, οὐ καθ' αὐτά· ἄλογα γὰρ οὕτω· ἀλλὰ καθὸ ὑπόκεινται τῇ ἐξουσίᾳ τοῦ λόγου, ἢ τῆς θελήσεως. Εἰ γὰρ αἱ κινήσεις τῶν μελῶν τῆς αἰσθητικῆς / ἐφέσεως, οὖσαι ἀγαθαί, εἰσὶ καὶ κακαὶ ἠθικῶς f. 99 καθό εἰσιν ἑκούσιοι, πολλῷ μᾶλλον τὰ πάθη, καθό εἰσιν ἑκούσια ἢ διὰ τὸ τὴν θέλησιν προστάττειν αὐτοῖς, ἢ διὰ τὸ μὴ κωλύειν αὐτά. Εἰ δὲ ἀπὸ τῶν ἀλόγων ζῴων ἐνίσταιτο, καθ' αὐτὰ μέν, ὡς εἴρηται, κοινὰ κἀκείνοις τὰ πάθη· ᾗ δὲ ὁ λόγος αὐτοῖς ἐπιστατεῖ, τῶν ἀνθρώπων ἴδια.

2. Δεύτερον, ὅτι κατὰ μὲν τοὺς Στωϊκοὺς πάντα τὰ πάθη κακά εἰσιν· ἐκεῖνοι γὰρ οὐ διέκρινον μεταξὺ τῆς αἰσθήσεως καὶ τοῦ νοῦ, καὶ ἀκολούθως οὐδὲ μεταξὺ τῆς νοερᾶς καὶ αἰσθητικῆς ἐφέσεως. Οἱ δὲ Περιπατητικοὶ πάσας τὰς κινήσεις τῆς αἰσθητικῆς ἐφέσεως πάθη καλοῦσιν· ὅθεν καὶ ἀγαθὰ ταῦτα νομίζουσιν ὑπὸ τοῦ λόγου ῥυθμιζόμενα, κακὰ δὲ παρὰ τὸν ῥυθμὸν ὄντα τοῦ λόγου.

3. Τρίτον, ὅτι οὐκ ἀεὶ τὸ πάθος ἐλαττοῖ τὸ τῆς ἠθικῆς ἐνεργείας ἀγαθόν· οὐ γὰρ ἀεὶ προηγουμένως ἔχει τὸ πάθος πρὸς τὴν κρίσιν τοῦ λόγου, οὗ ἤρτηται τὸ ἠθικὸν ἀγαθόν, ἀλλὰ καὶ ἑπομένως, ἢ κατὰ μετάδοσιν τῆς κινήσεως τοῦ ταπεινοτέρου τῆς ψυχῆς μέρους ἑπομένης τῇ τοῦ ὑψηλοτέρου, καὶ οὕτω τὸ ἐν τῷ πάθει ἀγαθὸν τεκμήριον τῆς κατὰ τὴν θέλησιν ἐπιτάσεως· ἢ κατὰ αἵρεσιν, ὡς ὅταν τις αἱρῆται διακεῖσθαι πάθει τινί, ἵνα προθυμότερον ἐνεργῇ, συνεργούσης τῆς αἰσθητικῆς ἐφέσεως, καὶ οὕτω τὸ τῆς ψυχῆς πάθος προστίθησι τῷ τῆς ἐνεργείας ἀγαθῷ,

## XXV. — Περὶ τῆς τάξεως τῶν τοῦ ἐπιθυμητικοῦ καὶ θυμικοῦ πρὸς ἄλληλα.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὰ τοῦ ἐπιθυμητικοῦ πάθη πρότερα τῶν τοῦ θυμικοῦ· τὸ γὰρ ἁπλῶς ἀγαθὸν πρότερον τοῦ τοιοῦδε· τὰ δὲ τοῦ ἐπιθυμητικοῦ τοῦ ἀπολελυμένου εἰσὶν ἀγαθοῦ· τὰ δὲ τοῦ θυμικοῦ, τοῦ συγκεκριμένου. Εἰ δὲ καὶ δοκεῖ κινεῖν τὸ ἐν τῷ θυμικῷ καὶ ἀφαιροῦν τὸ κωλῦον, ὡς εἴρηται πρότερον, ἀλλὰ κατὰ συμβεβηκός· ἡμεῖς δὲ περὶ τῆς καθαυτὰ αὐτῶν διαλεγόμεθα τάξεως.

2. Δεύτερον, ὅτι ὁ ἔρως πρῶτον τῶν τοῦ ἐπιθυμητικοῦ παθῶν κατὰ τὴν τάξιν· πᾶν γὰρ τὸ ἐπί τι σπεῦδον τέλος πρῶτον ἐπιτηδειότητά τινα

f. 99v ἢ ἀναλογίαν ἐπὶ τὸ τέλος λαμβάνει· | οὐδὲν γὰρ ἐπὶ τὸ τέλος φέρεται μὴ ἀνάλογον ὂν τῷ τέλει, καὶ τότε ἔστιν ὁ ἔρως, οὐδὲν ἄλλο ὢν ἢ τὸ ἀρέσκεσθαι τῷ ἀγαθῷ· δεύτερον, κινεῖται ἐπὶ τὸ τέλος, καὶ οὕτως ἐστὶν ἡ ἐπιθυμία ἢ ἡ ἔφεσις· τρίτον, ἠρεμεῖ ἐν τῷ τέλει μετὰ τὸ τυχεῖν, καὶ οὕτως ἐστὶν ἡδονὴ ἢ εὐφροσύνη. Κατὰ δὲ τὴν τοῦ λογισμοῦ τάξιν, ἀνάπαλιν ἔχουσιν· τὸ γὰρ τὴν ἡδονὴν λογίζεσθαι, τέλος οὖσαν ἀμηγέπη ὡς καὶ τἀγαθόν, αἴτιον καὶ τῆς ἐπιθυμίας καὶ τοῦ ἔρωτος.

3. Τρίτον, ὅτι ἡ ἐλπὶς πρώτη τῶν παθῶν τοῦ θυμικοῦ· ἡ γὰρ τοῦ ἀγαθοῦ παρουσία οὐ ποιεῖ πάθος ἐν τῷ θυμικῷ, ἀλλ' ἡ τοῦ ἀγαθοῦ ἀπουσία καὶ ἡ τοῦ κακοῦ παρουσία. Ὧν μὲν οὖν παθῶν ἀντικείμενόν ἐστι τὸ ἀγαθόν, φύσει πρότερα ὧν ἀντικείμενον τὸ κακόν· τοιαῦτα δὲ ἡ ἐλπὶς καὶ ἡ ἀπόγνωσις, ὧν ἡ μὲν ἐλπὶς κίνησις ἐπί τι δυσχερὲς ἀγαθόν, ἡ δέ, ἀποχώρησις μᾶλλον ἐκ τ' ἀγαθοῦ, καὶ ἔστιν ὥσπερ τι κατὰ συμβεβηκός. Τῶν δὲ λοιπῶν ὁ μὲν φόβος πρότερον τῆς τόλμης, ἀποχώρησις ὢν τοῦ κακοῦ· ἡ δὲ τόλμη προτέρα τῆς ὀργῆς. Ἄνωθεν τοίνυν λέγω, ὅτι ἡ ἐλπὶς καὶ ἡ ἀπόγνωσις πρότερον τοῦ φόβου καὶ τῆς τόλμης· ὡς γὰρ ἡ τοῦ ἀγαθοῦ ἔφεσις αἴτιον τοῦ φυλάττεσθαι τὸ κακόν, οὕτω καὶ ἡ ἐλπὶς καὶ ἡ ἀπόγνωσις αἰτία τοῦ φόβου καὶ τῆς τόλμης· ἡ μὲν γὰρ τόλμη ἕπεται τῇ ἐλπίδι τῆς νίκης, ὁ δὲ φόβος τῇ ἀπογνώσει τῆς νίκης, ἡ δὲ ὀργὴ τῇ τόλμῃ· οὐδεὶς γὰρ ἀμύνης ἐφιέμενος ὀργίζεται, εἰ μὴ τολμῴη πρῶτον ἀμύνεσθαι. Ἡ δὲ τάξις τῶν παθῶν πάντων τῇ ὁδῷ τῆς γεννήσεως αὐτῶν αὕτη· πρῶτον, ὁ ἔρως καὶ τὸ μῖσος· δεύτερον, ἡ ἐπιθυμία καὶ ἡ φυγή· τρίτον, ἡ ἐλπὶς καὶ ἡ ἀπόγνωσις· τέταρτον, ὁ φόβος καὶ ἡ τόλμη· πέμπτον, ὀργή· ἕκτον καὶ ἔσχατον, ἡ εὐφροσύνη καὶ ἡ λύπη, ἃ ἕπονται πᾶσι τοῖς πάθεσιν.

4. Ἡ δὲ ἐν τοῖς συνδυαζομένοις τάξις δήλη ἐστίν· ἀρχοειδῆ δέ εἰσι τέσσαρα· εὐφροσύνη, λύπη, ἐλπίς, καὶ φόβος, ὅτι εἰσὶ γενικά, λαμβανόμενα κατὰ τὴν τοῦ παρόντος καὶ τοῦ μέλλοντος διαφορὰν καὶ συμπληρωτικὰ τῶν ἄλλων.

f. 100 XXVI. — Περὶ τῶν παθῶν εἰδικώτερον· καὶ πρῶτον περὶ τῶν τοῦ ἐπιθυμητικοῦ. Περὶ τοῦ ἔρωτος καθ' αὑτόν.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ὁ ἔρως ἐστὶν ἐν τῷ ἐπιθυμητικῷ, τοῦ Φιλοσόφου λέγοντος αὐτῇ λέξει ἐν δευτέρῳ τῶν τοπικῶν, λέγω δὲ οὐ τὸν λογικὸν ἢ νοερόν.

2. Δεύτερον, ὅτι πάθος, καὶ τοῦτο τοῦ Φιλοσόφου λέγοντος ἐν ὀγδόῳ τῶν ἠθικῶν, εἰ καὶ δύναμις ὑπὸ Διονυσίου καλεῖται, καθόσον ἐστὶ τῆς κινήσεως ἀρχὴ τῆς ὀρεκτικῆς.

3. Τρίτον, ὅτι διενήνοχεν ἔρως, ἀγάπη, τιμία ἀγάπη καὶ φιλία, εἰ καὶ εἰς ταὐτὸν ἀνήκουσι τρόπον τινά· ἡ μὲν γὰρ φιλία ἕξις τίς ἐστιν· ὁ

ΙΩΑΝΝΙΝΑ 2006

δὲ ἔρως καὶ ἡ ἀγάπη κατὰ τὸν τῆς ἐνεργείας ἢ τοῦ πάθους τρόπον σημαίνονται, ὁ μὲν ἔρως κοινότερον, ἡ δὲ ἀγάπη εἰδικώτερον· προστίθησι γὰρ τὴν αἵρεσιν προηγουμένην· ὅθεν ἐν τῇ θελήσει μόνον ἐστὶν καὶ τοῖς λογικοῖς μόνοις· ἡ δὲ τιμία ἀγάπη προστίθησι τελειότητα ἔρωτος, καθόσον τὸ ἐραστὸν μεγάλου τιμώμεθα.

4. Τέταρτον, ὅτι ὁ ἔρως διαιρεῖται εἰς τὸν τῆς φιλίας καὶ τῆς ἐπιθυμίας· ἐρῶμεν γὰρ τοῦ οἴνου διὰ τὸ ἐνὸν γλυκύ, ἀλλ' οὐ λέγομεν φιλίαν πρὸς τὸν οἶνον ἔχειν εἰ μὴ καταχρηστικῶς· φίλος γὰρ κυρίως, ᾧ τι βουλόμεθα ἀγαθόν· ἐρῶμεν δὲ ὃ θέλομεν ἡμῖν.

## XXVII. — Περὶ τῆς αἰτίας τοῦ ἔρωτος.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὸ ἀγαθὸν μόνον τοῦ ἔρωτος αἴτιον, Αὐγουστίνου λέγοντος ἐν ὀγδόῳ περὶ Τριάδος. „Οὐκ ἔστι βεβαίως ἔρως εἰ μὴ μόνου τοῦ ἀγαθοῦ. Ἐρᾶται δέ ποτε καὶ τὸ κακὸν ὑπὸ τῷ λόγῳ τοῦ ἀγαθοῦ, καθὸ δηλονότι τυγχάνον πῃ ἀγαθὸν νοεῖται ὡς ἁπλῶς ἀγαθόν, καὶ οὕτω λέγεται· „Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν", καθόσον διὰ τῆς ἀδικίας τυγχάνει τινὸς ἀγαθοῦ, ἡδονῆς, ἢ χρημάτων, ἢ τοιούτου τινός.

2. Δεύτερον, ὅτι ἡ γνῶσις αἰτία τοῦ ἔρωτος· κατὰ γὰρ τὸν Αὐγουστῖνον ἐν δεκάτῳ περὶ Τριάδος, οὐδεὶς ἀγαπᾶν δύναται ὃ ἀγνοεῖ. Εἰ δὲ αἱ ἐπιστῆμαι ζητοῦνται ἀγνοούμεναι καὶ οὐκ ἐχόμεναι, ἀλλ' οὐ παντελῶς ἀγνοούμεναι ἀλλὰ προγινωσκόμεναι ἢ κατά τι, ἢ καθόλου, ἢ κατά τι αὐτῶν ἀποτέλεσμα, ἢ διὰ τοῦ ἀκούειν ἐπαινουμένας· | τὸ δ' οὕτω γινώσ- f. 100v
κειν οὐκ ἔστιν ἔχειν, ἀλλὰ τὸ γινώσκειν τελείως.

3. Τρίτον, ὅτι ἡ ὁμοιότης αἰτία τοῦ ἔρωτος· ἐν γὰρ τῷ Ἐκκλησιαστῇ λέγεται· „Πᾶν ζῷον ὅμοιον ἑαυτῷ ἀγαπᾷ".

Ἔτι, ἡ ὁμοιότης διχῶς ἐστιν ἔν τισιν, ἢ κατ' ἐνέργειαν, ἢ δυνάμει τινὶ καὶ ῥοπῇ. Ἡ μὲν οὖν πρώτη ὁμοιότης ποιεῖ τὸν τῆς φιλίας καὶ τῆς ἀγαθῆς θελήσεως ἔρωτα· διὰ γὰρ τὸ ἓν εἶναι τοῖς τρόποις καὶ ἔχειν ὥσπερ ἓν εἶδος οὕτως, ὥσπερ καὶ ἕν εἰσιν ἐν τῷ τῆς ἀνθρωπότητος εἴδει, ἢ ἐν τῷ τῆς λευκότητος τυχεῖν λευκοὶ ὄντες, ἡ τοῦ ἑτέρου διάθεσις ἐπὶ τὸν ἕτερον φέρεται, ὥσπερ εἰς ἐν ἑαυτῷ, καὶ βούλεται αὐτῷ ἀγαθὸν ὡς ἑαυτῷ. Ἡ δευτέρα δὲ ποιεῖ τὸν τῆς ἐπιθυμίας, ἢ τῆς ἡδονῆς, ἢ τῆς χρειώδους φιλίας· παντὶ γὰρ τῷ ἐν δυνάμει ὄντι ἔνεστι ἔφεσις τῆς ἰδίας ἐντελεχείας, καὶ ἥδεται ταύτης τυχεῖν, εἰ αἰσθητικὸν εἴη, ἢ γνωστικόν. Ἐν δὲ τῷ τῆς ἐπιθυμίας ἔρωτι ὁ ἐρῶν ἑαυτοῦ κυρίως ἐρᾷ, ᾧ θέλει καὶ τὸ ἀγαθὸν οὗ ἐπιθυμεῖ· ἕκαστος δὲ μᾶλλον ἑαυτὸν ἀγαπᾷ ἢ ἕτερον, ἑαυτῷ

---

7 *ἐρῶμεν*: *ἐροῦμεν* A 8-9 *βουλλόμεθα* A 15 *πῆ* A 16 Ps. 10, 6
26 Eccli. 19, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μὲν εἷς ὢν τῇ οὐσίᾳ, ἑτέρῳ δὲ ἐν ὁμοιότητι εἴδους τινός, καὶ διὰ τοῦτο εἰ παρὰ τοῦ ὁμοίου ἔν τινι μετοχῇ εἴδους κωλύοιτο τυχεῖν οὗ ἐρᾷ ἀγαθοῦ, γίνεται τούτῳ μίσητος οὐ καθὸ ὅμοιος, ἀλλὰ καθόσον κωλυτικὸν τοῦ ἰδίου ἀγαθοῦ· καὶ τούτου χάριν οἱ κεραμεῖς ἐρίζουσι πρὸς ἀλλήλους, ὅτι κωλύουσι ἀλλήλους κερδαίνειν. Καὶ ἐν τοῖς ὑπερηφάνοις εἰσὶν ἔριδες, ὅτι ἀποστεροῦσιν ἀλλήλους τῆς δόξης, ἧς ἐπιθυμοῦσιν. Εἰ δὲ καὶ ὁ Φιλόσοφος λέγει ἐν ἠθικοῖς, ὅτι ἐρῶσι τινὲς δι' ἡδονήν, ἐκείνη πάλιν ἡ ἡδονὴ ἐξ ἑτέρου πρόεισιν ἔρωτος· οὐδεὶς γὰρ ἥδεται εἰ μὴ ἔν τινί τινα τρόπον ἐραστῷ.

## XXVIII. — Περὶ τῶν τοῦ ἔρωτος ἀποτελεσμάτων.

1. Περὶ τούτο πρῶτον δείκνυται, ὅτι ἡ ἑνότης ἐστὶ τοῦ ἔρωτος ἀποτέλεσμα, τοῦ Διονυσίου λέγοντος ἐν τετάρτῳ τοῦ περὶ θείων ὀνομάτων, ὅτι πᾶς ἔρως δύναμίς ἐστιν ἑνωτική, εἴτε κατὰ τὸ πρᾶγμα ἡ ἑνότης νοοῖτο, εἴτε κατὰ τὴν διάθεσιν. Ἀλλὰ τῆς μὲν προτέρας αἴτιός ἐστι ποιητικῶς· κινεῖ γὰρ πρὸς τὸ ζητεῖν τὴν τοῦ ἐραστοῦ παρουσίαν· τῆς δὲ δευτέρας
f. 101 εἰδικῶς· ἡ γὰρ τοιαύτη | ἑνότης ἢ ὁ δεσμὸς ὁ ἔρως ἐστίν. Ἐπεὶ δὲ διπλοῦς ὁ ἔρως, ὁ τῆς ἐπιθυμίας καὶ τῆς φιλίας, περὶ ἑκατέρου τοῦτ' ἔστιν ἀληθές· ὅ τε γὰρ ἐπιθυμῶν τινος ὡς ἐφιέμενος ἐκείνου ἀντιλαμβάνεται ὡς συντελοῦντος εἰς τὸ οἰκεῖον ἀγαθόν, καὶ ὁ φιλῶν βούλεται τῷ φίλῳ ὥσπερ καὶ ἑαυτῷ· ὅθεν ἀντιλαμβάνηται ἐκείνου ὡς ἄλλου παρ' ἑαυτόν, καθόσον βούλεται ἐκείνῳ ὥσπερ καὶ ἑαυτῷ τὸ ἀγαθόν· κἀντεῦθέν ἐστιν ὃ λέγεται, τὸν φίλον εἶναι ἄλλον αὐτόν, καὶ ὅ φησιν Αὐγουστῖνος ἐν Ἐξομολογήσεσιν, ὡς εἰπόντος τινὸς περὶ τοῦ ἰδίου φίλου, ὡς εἴη τῆς αὐτοῦ ψυχῆς ἥμισυ.

2. Δεύτερον, ὅτι ὁ ἔρως αἴτιός ἐστι τῆς εἰς ἀλλήλους περιχωρήσεως. Τὸ γὰρ ἐραστὸν περιέχεται ἐν τῷ ἐρῶντι, καθόσον ἐκπέπηγε τῇ αὐτοῦ διαθέσει διὰ τὸ ἀρέσκεσθαι ἐκείνῳ· ὁ δὲ ἐρῶν ἐν τῷ ἐρωμένῳ, ἐφόσον ὁ ἐρῶν διώκει τρόπον τινὰ τὸ ἐνδότατον τοῦ ἐραστοῦ· οὐδὲν γὰρ κωλύει διαφόρως εἶναί τι περιέχον καὶ περιεχόμενον, ὥσπερ τὸ γένος περιέχεται ἐν τῷ εἴδει, καὶ τὸ ἀνάπαλιν.

3. Τρίτον, ὅτι ἔρωτος ἀποτέλεσμα ἡ ἔκστασις· καὶ Διονύσιος, ἐν τῷ περὶ θείων ὀνομάτων, ὅτι ὁ ἔρως ἔκστασιν ποιεῖ· καὶ ὅτι αὐτὸς ὁ Θεὸς διὰ τὸν ἔρωτα ἔκστασιν πέπονθεν.

4. Τέταρτον, ὅτι καὶ ὁ ζῆλος, τοῦ αὐτοῦ Διονυσίου λέγοντος ἐν τῷ αὐτῷ, ὅτι καλεῖται ζηλωτὴς ὁ Θεὸς διὰ τὸν πολὺν ἔρωτα, ὃν ἔχει πρὸς τὰ ὄντα. Εἰ δὲ λέγοι τις, ὡς ἀντικείμενον τοῦ ἔρωτός ἐστι τὸ ἀγαθόν, ὅ ἐστι κοινωνικὸν ἑαυτοῦ, ὁ δὲ ζῆλος ἐναντιοῦται τῇ κοινωνίᾳ, ὡς οἱ ἄνδρες ζηλοτυπεῖν λέγονται ὑπὲρ τῶν ἰδίων γυναικῶν, ἃς οὐ βούλονται κοινὰς ἔχειν ἄλλοις, ἀλλ' ἰστέον ὅτι τοῦ ἀγαθοῦ ἐρῶμεν, καθόσον ἐστὶν ἡμῖν μεθεκτόν· ὅθεν πᾶν ὃ τὴν τελειότητα τῆς κοινωνίας ταύτης κωλύει

ΙΩΑΝΝΙΝΑ 2006

μισητὸν ἡμῖν γίνεται, καὶ οὕτως ὁ τοῦ ἀγαθοῦ ἔρως αἴτιος γίνεται ζήλου. Δι' ἔνδειαν δὲ ἀγαθοῦ, μικρῶν τινων ἀγαθῶν μὴ δυναμένων τελείως ὑπὸ πολλῶν ἅμα μετέχεσθαι, γίνεται ὁ ἔρως αἴτιος ζήλου τοῦ φθόνου, οὐ μὴν κυρίως ὁ τῶν δυναμένων τελείως ὑπὸ πολλῶν | μετέχεσθαι· οὐδεὶς f. 101v
γὰρ ἑτέρῳ φθονεῖ τῆς τοῦ ἀληθοῦς γνώσεως, ὅπερ τελείως ὑπὸ πολλῶν γινώσκεσθαι δύναται, ἀλλ' ἴσως τῆς περὶ τὴν τοιαύτην γνῶσιν ὑπεροχῆς, ὅτι ὁ ἔρως πάθος ἐστὶ συντηρητικὸν καὶ συνεκτικόν, κατὰ τὸν Διονύσιον ἐν τῷ τετάρτῳ περὶ θείων ὀνομάτων. Ἔτι, πάντα ποιεῖ δι' ἔρωτα κατὰ τὸν αὐτὸν ἐν τῷ αὐτῷ, καθόσον ὁ ἔρως περιέχει ὑφ' ἑαυτὸν τὸν νοερὸν ἔρωτα, τὸν λογικόν, τὸν ζῳώδη καὶ φυσικόν.

## XXIX. — Περὶ τοῦ μίσους.

1. Περὶ τούτο πρῶτον δείκνυται, ὅτι αἴτιον καὶ ἀντικείμενον τοῦ μίσους τὸ κακόν, ἐφόσον καὶ τοῦ ἔρωτος ἀντικείμενον καὶ αἴτιον τὸ ἀγαθόν.

2. Δεύτερον, ὅτι ὁ ἔρως τοῦ μίσους αἴτιος· κατὰ γὰρ τὸν Αὐγουστῖνον ἐν τεσσαρακαιδεκάτῳ τῶν περὶ τῆς πόλεως τοῦ Θεοῦ, πᾶσαι αἱ διαθέσεις ἐκ τοῦ ἔρωτος γίνονται· καὶ τὸ μῖσος ἄρα, διάθεσίς τις ὂν τῆς ψυχῆς. Εἰ δὲ ὡς ἀντιδιῃρημένα δόξειεν ἂν εἶναι ἅμα, ἀλλ' εἰδέναι δεῖ, ὅτι ἐν τοῖς ἀντιδιῃρημένοις τὰ μέν εἰσιν ἅμα φύσει καὶ λόγῳ καὶ πράγματι, ὡς δύο εἴδη ζῴου ἢ χρώματος· τὰ δὲ κατὰ μὲν τὸν λόγον ἅμα, θάτερον δὲ θατέρου πρότερον καὶ αἴτιον πράγματι, ὡς ἐν τοῖς εἴδεσι τῶν ἀριθμῶν, τῶν σχημάτων καὶ τῶν κινήσεων· τὰ δὲ οὔτε τῷ λόγῳ, οὔτε τῷ πράγματι ἅμα, ὡς οὐσία καὶ συμβεβηκός· ἡ γὰρ οὐσία πράγματι πρότερον, καὶ αἰτία τοῦ συμβεβηκότος· καὶ τὸ ὂν κατὰ τὸν λόγον πρότερον τῇ οὐσίᾳ ἀποδίδοται. Ἐν τοῖς δευτέροις καὶ ὁ ἔρως καὶ τὸ μῖσος ἐστίν.

3. Τρίτον, ὅτι ὁ ἔρως τοῦ μίσους ἰσχυρότερος, καὶ τὸ ἀγαθὸν τοῦ κακοῦ, καὶ ὡς τὸ αἴτιον τοῦ ἀποτελέσματος, καὶ ὡς τὸ κινούμενον ἐπὶ τὸ τέλος τοῦ κινουμένου ἐπὶ τὰ πρὸς τέλος. Ἡ γὰρ ἀποχώρησις τοῦ κακοῦ, ὃ τοῦ μίσους ἐστίν, ὡς εἰς τέλος τὴν τοῦ ἀγαθοῦ τεῦξιν τάττεται, ὃ τοῦ ἔρωτος ἐστίν. Ἐνίοτε δ' ὅμως ἰσχυρότερον τὸ μῖσος ἢ διὰ τὸ μῖσος μᾶλλον εἶναι τοῦ ἔρωτος αἰσθητόν, ὅτι ἡ τοῦ μισητοῦ μάχη μετὰ μείζονος αἰσθήσεως λαμβάνεται ἢ τὸ οἰκεῖον τοῦ ἐραστοῦ, ἢ ὅτι τὸ τῷ μείζονι ἀνταποκρινόμενον ἔρωτι μῖσος μᾶλλον κινεῖ τοῦ ἐλάττονος ἔρωτος.

4. Τέταρτον, εἰ δυνατόν τινα ἑαυτὸν μισεῖν· ἐν γὰρ πέμπτῳ τῆς πρὸς Ἐφεσίους φησὶν ὁ Ἀπόστολος· „Οὐδεὶς τὴν ἰδίαν σάρκα | μισεῖ“. Εἰ δὲ f. 102
ἐν τοῖς Ψαλμοῖς λέγεται· „Ὁ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν“, τοῦτο μὲν καὶ πρότερον λέγεται καὶ νῦν δὲ λέγειν δεῖ, ὅτι οὐδεὶς

---

30 *ἰσχυρότερος τοῦ μίσους* A, distraction évidente 33 *μίσει* A, distraction
35 Eph. 5, 29 36 Ps. 10, 6



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

βούλεται ἢ ποιεῖ ἑαυτῷ κακὸν εἰ μὴ κατὰ τὸν λόγον τοῦ ἀγαθοῦ. Καὶ γὰρ καὶ ἐπὶ τῶν ἀποκτιννύντων ἑαυτοὺς αὐτὸ τὸ ἀποθνήσκειν κατά τινα τοῦ ἀγαθοῦ λόγον νοεῖται, καθόσον ἐστὶ τέλος ἀθλιότητός τινος ἢ ὀδύνης.

5. Πέμπτον, ὅτι οὐ δυνατόν τινα μισεῖν τὴν ἀλήθειαν, τοῦ Ἀποστόλου λέγοντος ἐν τετάρτῳ τῆς πρὸς Γαλάτας· „Ἐχθρὸς ὑμῖν γέγονα τὸ ἀληθὲς ὑμῖν λέγων". Εἰ δέ τις ἐπιχειροίη ἐκ τἀγαθοῦ, ὃ ἀδύνατον μισεῖσθαι, ἀντιστρέφον τῷ ὄντι καὶ ἀληθεῖ, καὶ ἐκ τοῦ ἐπίστασθαι, ὃ φύσει ἐφετὸν ὄν, τῶν ἀληθῶν ἐστιν· ἀλλὰ δεῖ λέγειν, ὅτι τὸ γινώσκειν τὴν ἀλήθειαν καθ' ἑαυτὸ μέν ἐστιν ἐφετόν· διὸ φησὶν Αὐγουστῖνος, ὅτι ἀγαπῶσιν αὐτὴν λάμπουσαν· κατὰ συμβεβηκὸς δὲ ἡ τῆς ἀληθείας γνῶσις δύναται εἶναι μισητή, καθόσον ἐπιθυμητῷ τινι δύναται ἐκποδὼν εἶναι.

## XXX. — Περὶ ἐπιθυμίας.

1. Περὶ τούτο πρῶτον μὲν δείκνυται, ὅτι ἡ ἐπιθυμία ἐν μόνῃ τῇ αἰσθητικῇ ὀρέξει ἐστίν. Λέγεται δέ ποτε ἡ ὄρεξις τῆς σοφίας ἢ τῶν ἄλλων πνευματικῶν ἀγαθῶν ἐπιθυμία ἢ διά τινα ὁμοιότητα, ἢ διὰ τὴν ἐπίτασιν τῆς ὀρέξεως τοῦ ὑψηλοτέρου μέρους, ὅτι γινομένης ἐξ ἐκείνου μεταδόσεως καὶ ἐπὶ τὴν ταπεινοτέραν ὄρεξιν, τὸν αὐτῆς τρόπον καὶ αὕτη ἐπὶ τὸ πνευματικὸν φέρεται ἀγαθόν, ἑπομένη τῇ ὑψηλοτέρᾳ ὀρέξει, ὅτε δὴ καὶ τὸ σῶμα τοῖς πνευματικοῖς ὑπηρετεῖται, κατ' ἐκεῖνο τῶν Ψαλμῶν· „Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα".

2. Δεύτερον, ὅτι τῶν ἐπιθυμιῶν αἳ μέν εἰσι φυσικαί, αἳ δὲ οὔ, ὡς ὁ Φιλόσοφος τίθησιν ἐν πρώτῳ τῆς ῥητορικῆς.

3. Τρίτον, ὅτι ἡ ἐπιθυμία ἄπειρος, ὡς ὁ Φιλόσοφος ἐν πρώτῳ τῶν πολιτικῶν. Ὅτι τῆς ἐπιθυμίας ἐπ' ἄπειρον οὔσης, καὶ οἱ ἄνθρωποι τῶν ἀπείρων ἐπιθυμοῦσιν, πρῶτος λόγος ἐστὶν ὅτι, τῆς ἐπιθυμίας διπλῆς οὔσης, φυσικῆς καὶ οὐ φυσικῆς, ἡ μὲν φυσικὴ οὐκ ἔστιν ἄπειρος ἐνεργείᾳ· ἔστι
f. 102ᵛ γὰρ τοῦ κατὰ φύσιν καὶ ὃ | ἡ φύσις ζητεῖ· ἡ δὲ φύσις ἀεὶ βέβαιόν τι καὶ πεπερασμένον ζητεῖ· ὅθεν ὁ ἄνθρωπος οὐδέποτε ἐπιθυμεῖ ἀπείρου σιτίου ἢ πότου, εἰ μὴ ὥσπερ ἐν τῇ φύσει ἐνδέχεται τὸ ἄπειρον εἶναι κατὰ τὸ ἐφεξῆς· καὶ ἐν τῇ ἐπιθυμίᾳ οὕτω λέγοιτο κατὰ διαδοχὴν εἶναι διὰ τὸ τὰ τοιαῦτα σωματικὰ ἀγαθὰ μὴ διαμένειν ἀεί, ἀλλ' ἐπιλείπειν, ὡς ἐν τῷ κατὰ Ἰωάννην ὁ Κύριος τῇ Σαμαρείτιδι ἔφη· „Ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν". Ἡ δὲ μὴ φυσικὴ πατελῶς ἐστιν ἄπειρος· ἕπεται γὰρ τῷ λόγῳ· τῷ δὲ οἰκεῖον τὸ ἐπ' ἄπειρον προϊέναι, ὃ συμβαίνει τοῖς χρημάτων ἐπιθυμηταῖς, ὅτι οὐχ ὁρίζουσιν. Ὁ δεύτερος λόγος ἐστὶν ὅτι ἡ μὲν τοῦ τέλους ἐπιθυμία ἄπειρός ἐστιν, διότι τὸ τέλος καθαυτὸ ἐπιθυμεῖται· ὅθεν ἡ μείζων ὑγεία μᾶλλον ἐπιθυμεῖται· ἡ δὲ τοῦ πρὸς τὸ τέλος πεπέραται·

---

5 Gal. 4, 16  20 Ps. 83, 3  33 Ioh. 4, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὥστε οἱ μὲν ἐν χρήμασι τὸ τέλος τιθέμενοι ἐπ' ἄπειρον ἐπιθυμοῦσιν· οἱ δὲ πρὸς τὴν ἀνάγκην τοῦ βίου ἐπιθυμοῦντες, τῶν ἀρκούντων πρὸς ταύτην, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

## XXXI. — Περὶ ἡδονῆς.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἡ ἡδονὴ πάθος ἐστίν· εἰ γὰρ καὶ λέγεται ἐνέργεια, οὐκ ἔστιν οὐσιώδης ἡ κατηγορία, ἀλλὰ κατ' αἰτίαν διὰ τὸ ἕπεσθαι τῇ ἐνεργείᾳ τὴν ἡδονήν.

2. Δεύτερον, ὅτι οὐκ ἔστιν ἐν χρόνῳ, ὡς ἐν τῷ δεκάτῳ τῶν φυσικῶν φησὶν ὁ Φιλόσοφος, ὅτι ἐν οὐδενὶ χρόνῳ λαμβάνει τις τὴν ἡδονήν. Εἰ δὲ λέγοι τις τὴν ἡδονὴν κίνησιν εἶναι, πᾶσαν δὲ κίνησιν ἐν χρόνῳ, δεῖ λέγειν, ὅτι ἡ κίνησις ἡ ἐντελέχεια τοῦ δυνάμει ὄντος, ᾗ τοιοῦτον, ἐν τῷ ἐφεξῆς καὶ ἐν χρόνῳ· ἀλλ' ἡ ἐντελέχεια τοῦ τελείου καὶ ἐνεργείᾳ ὄντος, ὡς τὸ νοεῖν καὶ αἰσθάνεσθαι, ὧν καὶ τὸ ἥδεσθαι, οὐκ ἔστιν ἐν τῷ ἐφεξῆς, οὔτε καθ' αὑτὴν ἐν χρόνῳ.

3. Τρίτον, ὅτι ἕτερον εὐφροσύνη καὶ ἡδονή· εὐφροσύναι γὰρ λέγονται αἱ ψυχικαὶ ἡδοναί, αἱ σωματικαὶ δέ, ἡδοναὶ μόνον.

4. Τέταρτον, ὅτι ἡ ἡδονὴ δύναται καὶ ἐν τῇ νοερᾷ ἐφέσει εἶναι, λέγοντος τοῦ Φιλοσόφου ἐν δεκάτῳ τῶν ἠθικῶν, ὅτι κατὰ πᾶσαν αἴσθησιν ἡδονή· ὁμοίως δὲ καὶ τὴν θεωρίαν τοῦ νοῦ.

5. Πέμπτον, ὅτι αἱ ἀσώματοι καὶ νοηταὶ ἡδοναὶ μείζους τῶν αἰσθη- f. 103
τῶν καὶ σωματικῶν. Ἐν γὰρ τοῖς Ψαλμοῖς λέγεται· „Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου· ὑπὲρ μέλι τῷ στόματί μου“· καὶ ὁ Φιλόσοφος ἐν τῷ δεκάτῳ τῶν ἠθικῶν· „Μεγίστη ἐστὶν ἡδονὴ ἡ κατὰ τὴν τῆς σοφίας ἐνέργειαν“. Ἕπονται δὲ οἱ πλείους ταῖς σωματικαῖς διὰ τὸ τὰ σωματικὰ ἀγαθὰ μᾶλλον καὶ πλείοσιν εἶναι γνώριμα καὶ διὰ τὸ τοὺς ἀνθρώπους δεῖσθαι τῶν ἡδονῶν ὥσπερ τινῶν φαρμάκων πρὸς τὰς πολυειδεῖς ὀδύνας καὶ λύπας, καὶ διὰ τὸ τοὺς πλείους τῶν ἀνθρώπων, μὴ δυναμένους τῶν ἀσωμάτων ἡδονῶν ἐφικνεῖσθαι, αἵ εἰσιν ἴδιαι τῶν σπουδαίων, ῥέπειν πρὸς τὰς σωματικάς.

6. Ἕκτον, ὅτι μέγισται τῶν σωματικῶν ἡδονῶν αἱ κατὰ τὴν ἁφήν, τοῦ Φιλοσόφου τοῦτο οὕτω λέγοντος ἐν τρίτῳ τῶν ἠθικῶν· ἡ δὲ τῆς ὄψεως ἡδονὴ μᾶλλον εὐφροσύνη λέγεται, διότι μᾶλλον ψυχική ἐστιν ἢ φυσική.

7. Ἕβδομον, ὅτι ἔνιαι ἡδοναί εἰσι νοσώδεις καὶ παρὰ φύσιν, οὕτω λέγοντος τοῦ Φιλοσόφου ἐν ἑβδόμῳ τῶν ἠθικῶν. Εἰ γὰρ φύσις ἐν τῷ ἀνθρώπῳ λέγεται μὲν καὶ ὁ νοῦς καὶ ὁ λόγος, λέγεται δὲ καὶ τὸ ἀντιδιῃρημένον τῷ λόγῳ, τὸ καὶ τοῖς ἄλλοις ζῴοις κοινόν, καθ' ἑκάτερον φυσικαί εἰσιν ἡδοναί, ἔνθα μὲν τὸ ἥδεσθαι ἐν τῇ θεωρίᾳ τῆς ἀληθείας

22 Ps. 118, 103



Ε.γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἐν ταῖς τῶν ἀρετῶν ἐνεργείαις, ἔνθα δὲ τὸ ἐν τοῖς σιτίοις καὶ ποτοῖς πρὸς τὴν τοῦ ἀτόμου συντήρησιν, ἢ ἐν τοῖς ἀφροδισίοις πρὸς τὴν τοῦ εἴδους. Ἀλλὰ διά τινα ἑκατέρας τῆς φύσεως φθορὰν αἱ παρὰ φύσιν γίνονται ἡδοναί, ὥσπερ διὰ νόσον τοῖς πυρέττουσι τὰ γλυκέα πικρὰ δοκεῖ εἶναι, καὶ τὸ ἀνάπαλιν· τοῖς δὲ κακῶς κεκραμένοις ἡδὺ γῆν ἐσθίειν ἢ ἄνθρακας· ἄλλοι δι᾽ ἔθος ψυχῆς πονηρὸν ἥδονται ἐσθίοντες ἀνθρώπους, ἢ συγγινόμενοι ζῴοις ἢ ἄρρεσιν, ἅπερ ἅπαντα οὐκ εἰσὶ κατὰ ἀνθρωπίνην φύσιν. Γίνονται μέντοι ἐν τοῖς ἀτόμοις δι᾽ ἔθος φυσικά πῃ, ὡς τῷ θερμανθέντι
f. 103v | ὕδατι τὸ θερμαίνειν.

8. Ὄγδοον, ὅτι ἡδονῇ ἡδονὴ ἐναντία ἐστίν. Τὰ γὰρ κωλύοντα ἄλληλα ἐν τῷ αὐτῷ γένει ὄντα, ἐναντία εἰσίν· ἀλλά τινες τῶν ἡδονῶν ἀλλήλας κωλύουσιν, ὡς ἐν τῷ δεκάτῳ τῶν ἠθικῶν λέγεται· τινὲς ἄρα ἡδοναί εἰσιν ἐναντίαι. Ἀλλ᾽ οὐδὲ κωλύειν δύο ἀγαθὰ εἶναι ἐναντία ἀλλήλοις, ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρόν, ὧν τὸ μὲν ἀγαθὸν τῷ πυρί, τὸ δὲ τῷ ὕδατι. Τοῦτο δὲ ἐν τῷ τῆς ἀρετῆς ἀγαθῷ εἶναι ἀδύνατον, ὅτι κατὰ μόνην τὴν πρὸς ἕν τι, τὸν λόγον, οἰκειότητα λαμβάνεται.

## XXXII. — Περὶ τῶν αἰτίων τῆς ἡδονῆς.

1. Περὶ τὸ πρῶτον δείκνυται, ὅτι ἰδία καὶ πρώτη αἰτία τῆς ἡδονῆς ἡ ἐνέργεια.

2. Δεύτερον, ὅτι καὶ ἡ κίνησις· τὸ γὰρ κινούμενον, εἰ καὶ μήπω ἔχει τελείως τὸ ἐφ᾽ ὃ κινεῖται, ἄρχεται μέντοι ἔχειν τι ἐκείνου, καὶ διὰ τοῦτο ἐκείνη ἡ κίνησις ἔχει τι ἡδονῆς, ἀτελὲς μέντοι· αἱ γὰρ τελειότεραι τῶν ἡδονῶν ἐν τοῖς ἀκινήτοις τῶν πραγμάτων εἰσίν.

3. Τρίτον, ὅτι ἡ μνήμη καὶ ἡ ἐλπίς· ἐν γὰρ ἑνδεκάτῳ τῆς πρὸς Ῥωμαίους λέγεται· „Τῇ ἐλπίδι χαίροντες“· καὶ ἐν Ψαλμοῖς· „Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην“.

4. Τέταρτον, ὅτι καὶ ἡ λύπη· ἐν τοῖς Ψαλμοῖς· „Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός“. Τὸ ἐναντίον κατὰ συμβεβηκὸς αἴτιόν ἐστι τοῦ ἐναντίου, ὡς τὸ ψυχρὸν ἐνίοτε θερμαίνει. Ὁμοίως καὶ ἡ λύπη κατὰ συμβεβηκὸς ἡδονῆς αἰτία, καθόσον διαλογιζόμεθά τι ἡδύ.

5. Πέμπτον, ὅτι καὶ αἱ τῶν ἄλλων πράξεις αἰτίαι ἡδονῆς. Ἐν γὰρ τῇ δευτέρᾳ Ἰωάννου εἴρηται· „Ἐχάρην λίαν, ὅτι εὗρον ἐκ τῶν υἱῶν σου περιπατοῦντας ἐν ἀληθείᾳ“. Εἰ δὲ καὶ τὸ συνημμένον ἀγαθὸν αἴτιόν ἐστι τῆς ἡδονῆς, ἀλλὰ καὶ ἡ τοῦ ἑτέρου ἐνέργεια συνῆφθαί μοι δύναται ἢ διὰ τὸ ἀποτέλεσμα, ἢ διὰ τὴν ὑπόληψιν, ἢ διά τινα τῆς ψυχῆς διάθεσιν.

6. Ἕκτον, ὅτι καὶ τὸ εὖ ποιεῖν ἕτερον, τριχῶς· τῇ πρὸς τὸ ἀποτέλεσμα παραθέσει, καθόσον τὸ ἑτέρου ἀγαθὸν ὡς ἡμέτερον νομίζομεν διὰ τὴν τοῦ

26 Rom. 12, 12 Ps. 76, 4 28 Ps. 41, 4 33 II Ioh. 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἔρωτος ἕνωσιν· τῇ πρὸς τὸ τέλος παραθέσει, ὃ διενήνοχε τοῦ ἀποτελέσματος· ἐκεῖνο γάρ ἐστι τὸ ἐν ἑτέρῳ γεγονὸς ἀγαθόν, | ὥσπερ ὅταν τις διὰ f. 104 τὸ εὖ ποιεῖν ἄλλον ἐλπίζῃ τεύξεσθαι ἑαυτόν τινος ἀγαθοῦ ἢ παρὰ Θεοῦ, ἢ παρὰ ἀνθρώπου· ἡ δὲ ἐλπὶς εἴρηται αἰτία εἶναι ἡδονῆς τῇ πρὸς τὴν ἀρχὴν παραθέσει, καὶ αὕτη τριττή· μία μὲν ἡ τοῦ εὖ ποιεῖν εὐπορία· ἡδὺ γὰρ δοκεῖ τοῦτο, διότι δι' αὐτοῦ δόξα ἡμῖν ἐγγίνεται τῆς ἀφθονίας τοῦ ἐν ἡμῖν ἀγαθοῦ, οὗ καὶ ἄλλοις δυνάμεθα κοινωνεῖν· ἄλλη ἐστὶν ἡ ἕξις ἐπὶ τοῦτο ῥέπουσα, καθὸ τὸ εὖ ποιεῖν ἑτέρους φυσικόν ἐστί τινι· ὅθεν οἱ ἐλεύθεροι ἥδιστα τοῖς ἄλλοις παρέχουσιν· τρίτη, ἡ κινητική, οἷον ὅταν τις κινῆται ὑπό τινος, ὃν φιλεῖ, πρὸς τὸ εὖ ποιῆσαι ἄλλον· πάντα γὰρ ὅσα ποιοῦμεν ἢ πάσχομεν τῶν φίλων ἕνεκα ἡδέα εἰσίν· ὁ γὰρ ἔρως ἡ μεγίστη τῆς ἡδονῆς ἀρχή, εἰ καὶ ἡ πρόεσις, ἄμετρος οὖσα, ἐστὶ λυπηρά, καθόσον κενοῖ τὸ ἴδιον ἀγαθόν, ἄλλως τέρπουσα ὡς ἐνδεικτικὴ τοῦ ἰδίου ἀγαθοῦ.

7. Ἕβδομον, ὅτι ἡ ὁμοιότης· αὕτη γὰρ ἀγάπης αἰτία· ὁ δὲ ἔρως ἡδονῆς ἐστιν αἴτιος· καὶ ἡ ὁμοιότης ἄρα.

8. Ὄγδοον, ὅτι ἡ ἔκπληξις, ὡς ὁ Φιλόσοφος φησὶν ἐν ῥητορικῇ, ὅτι τὸ θαυμάζειν αἴτιόν ἐστιν ἡδονῆς.

## XXXIII. — Περὶ τῶν ἀποτελεσμάτων τῆς ἡδονῆς.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἡ ἡδονὴ αἰτία ἐστὶ τοῦ πλατυσμοῦ, ὡς ἐν τῷ ἑξηκοστῷ τοῦ Ἡσαΐου· „Τότε ὄψει καὶ θαυμάσῃ καὶ ἐκπλαγήσῃ, καὶ πλατυνθήσεται ἡ καρδία σου“· δοκεῖ γὰρ διὰ τῆς ἡδονῆς ὁ ἄνθρωπος ἐν ἑαυτῷ πολλαπλασιάζεσθαι, ὥστε χωρητικώτερον γίνεσθαι.

2. Δεύτερον, ὅτι αἰτία ἐστὶ τοῦ ἐπιθυμεῖν μᾶλλον αὐτῆς ἡ ἀτελής· ἡ δὲ τελεία τελείαν ἔχει τὴν ἠρεμίαν, καὶ παύεται τότε ἡ τῆς ἐπιθυμίας κίνησις, ἡ φερομένη ἐπὶ τὸ μήπω παρόν.

3-4. Τρίτον, ὅτι ἐμποδίζει τῇ χρήσει τοῦ λόγου. Ἐν γὰρ ἕκτῳ τῶν ἠθικῶν φησὶν ὁ Φιλόσοφος, ὅτι ἡ ἡδονὴ φθείρει τὸν λογισμὸν τῆς φρονήσεως· ἥ τε γὰρ ἠρεμία τῆς ἐφέσεως ἐν τῷ ἡδεῖ καὶ ἡ κατὰ τὸ σῶμα συνημμένη τῇ ἡδονῇ μεταβολὴ ἐναντιοῦται | τῷ λόγῳ. Ἡ τῇ ἐνεργείᾳ f. 104v μέντοι γε τοῦ λόγου ἑπομένη τελειοῖ τὴν τοῦ λόγου χρῆσιν καὶ ῥώννυσιν.

## XXXIV. — Περὶ τῆς ἀρετῆς καὶ κακίας τῆς ἡδονῆς.

1. Περὶ ὃ δείκνυται πρῶτον, ὅτι οὐ πᾶσα ἡδονὴ κακή. Ἐν γὰρ τοῖς Ψαλμοῖς λέγεται· „Εὐφράνθητε ἐπὶ τῷ Κυρίῳ“· πρὸς οὐδὲν δὲ πονηρὸν ἡ Γραφὴ ἐνάγει.

Ἔτι, αἱ ἀπὸ τῆς τοῦ λόγου ἐνεργείας γινόμεναι ἡδοναὶ οὔτε κωλύουσι

22 Is. 50, 5 36 Ps. 36, 4

Ε.Υ.Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν λόγον, ἢ τὴν φρόνησιν φθείρουσιν, οὔτε κακαί εἰσιν· αἱ δὲ σωματικαὶ κωλύουσιν ἢ διὰ τὴν τῆς ὀρέξεως ἐναντιότητα, ὅταν ἠρεμῇ ἐν τῷ παρὰ λόγον, ἐξ οὗ ἔχει ἡδονὴ τὸ εἶναι κακὴ ἠθικῶς, ἢ διὰ δεσμόν τινα τοῦ λόγου, ὅπερ καὶ τῇ κατὰ λόγον συμβαίνει διὰ τὴν συνεζευγμένην ταύτῃ σωματικὴν μεταβολήν, ὥσπερ τῇ τοῦ γάμου· ἀλλ' ἐκ τοῦ δεσμοῦ τούτου οὐχ ἕπεται κακία ἠθική, ὥσπερ οὐδ' ὁ ὕπνος, ᾧ δεσμεῖται ὁ λόγος, κακός ἐστιν ἠθικῶς τῷ κατὰ λόγον μετέχοντι. Καὶ γὰρ καὶ τοῦτο κατὰ λόγον ἐστί, τὸ διακόπτεσθαι τὴν τοῦ λόγου χρῆσιν ἐνίοτε. Ὁ δ' ἐκ γαμικῆς συνουσίας τοῦ λόγου δεσμὸς οὐκ ἔχων πονηρίαν ἠθικήν, οὔτε θανάσιμον οὔτε συγγνωστήν, προῆλθε μέντοι ἔκ τινος ἠθικῆς πονηρίας, τοῦ προγονικοῦ δηλονότι ἁμαρτήματος, καὶ διὰ τοῦτο φησὶν Ἱερώνυμος, ὅτι ἐν τῇ γαμικῇ συνουσίᾳ οὐδὲ τῷ προφήτῃ δίδοται πνεύματος παρουσία. Ἀλλ' οὐδ' ὁ σώφρων πάσας τὰς σωματικὰς ἡδονὰς φεύγει, ἀλλὰ τὰς ἀμέτρους καὶ τὰς μὴ προσηκούσας τῷ λόγῳ· οὐδὲ διὰ τὸ τὰ παιδία καὶ τὰ ζῷα διώκειν αὐτὰς κακαί εἰσιν ἁπλῶς· ἔνεστι γὰρ τούτοις ὄρεξις φυσικὴ παρὰ τοῦ Θεοῦ, ἥτις αὐτὰ ἐπὶ τὸ οἰκεῖον τούτοις κινεῖ.

2. Δεύτερον, ὅτι οὐ πᾶσα ἡδονὴ ἀγαθή. Ἐν ταῖς Παροιμίαις λέγεται· „Οἱ ἡδόμενοι ὅταν κακοποιῶσι, καὶ εὐφραινόμενοι ἐπὶ τοῖς χειρίστοις". Περὶ τὸ πρῶτον πεπλάνηνται οἱ Στωϊκοί, καὶ περὶ τὸ δεύτερον οἱ Ἐπικουρεῖοι, μὴ διακρίναντες τό τε ἁπλῶς ἀγαθὸν καὶ τό πῃ, καὶ ἑπομένως μηδὲ τὴν ἐν τῷ ἀγαθῷ ἠρεμίαν.

f. 105 3. Τρίτον, ὅτι ἡδονή τις τὸ ἄριστόν ἐστιν. Ἡ γὰρ μακαριότης οὐκ ἄνευ ἡδονῆς· λέγεται γὰρ ἐν Ψαλμοῖς· „Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος".

Ἰστέον δὲ ὅτι ὁ Πλάτων τὴν μέσην τῶν Στωϊκῶν καὶ Ἐπικουρείων ἐλθὼν καλῶς, ὅμως οὐδεμίαν ἡδονὴν εἶναι τὸ ἄριστον ἔθετο, καὶ διχῶς ἥμαρτεν· ἓν μέν, ὅτι ἰδὼν τὰς αἰσθητικὰς ἡδονὰς ἔν τινι κινήσει καὶ γενέσει καὶ ἐπὶ τῆς πληρώσεως τῶν σιτίων, ὑπείληφέ τε πᾶσαν ἡδονὴν ἕπεσθαι ταύταις καὶ ἀκολούθως μηδὲ λόγον ἐσχάτης τελειότητος ἔχειν, ὥσπερ οὐδ' αὗται· ἀλλὰ δῆλόν ἐστιν ἐπὶ τῶν νοητῶν ἡδονῶν, οἷον τῆς τοῦ ἐπίστασθαι, καὶ οὐ μόνον ἐν τῷ μανθάνειν, ἀλλὰ καὶ ἐν τῷ θεωρεῖν κατὰ τὴν πορισθεῖσαν ἡδόμεθα· ἕτερον δέ, ὅτι ἄριστον ἔλεγε τὸ ἁπλῶς ἔσχατον ἀγαθόν, ὃ δηλονότι ἐστὶν αὐτάγαθον κατὰ ἀφαίρεσιν καὶ κεχωρισμένον, ἀλλ' οὐ μεθεκτόν, ὥσπερ αὐτὸν τὸν Θεόν. Ἡμεῖς δὲ περὶ τοῦ ἀρίστου ὡς ἂν ἐν τοῖς ἀνθρώποις ὄντος διαλεγόμεθα· ἄριστον δὲ ἐν ἑκάστῳ τὸ ἔσχατον τέλος καὶ ἢ τὸ πρᾶγμα, ἢ ἡ χρῆσις αὐτοῦ, ὡς τοῦ φειδωλοῦ τὰ χρήματα, ἢ ἡ κτῆσις αὐτῶν· οὕτω καὶ ἀνθρώπου ἔσχατον τέλος ὁ Θεός, ἁπλῶς ἔσχατον ἀγαθὸν ὄν, ἢ ἡ τούτου ἀπόλαυσις, ἢ ἡδονὴν

---

18 Prov. 2, 14 23 Ps. 15, 10 32 *κατὰ τὴν πορ.*, sous-entendu *ἐπιστήμην*

τινα ἐν τούτῳ τῷ ἐσχάτῳ τέλει σημαίνει, καὶ οὕτως ἡδονή τις ἀνθρωπίνη δύναται λέγεσθαι τὸ ἄριστον τῶν ἀνθρωπίνων ἀγαθῶν.

4. Τέταρτον, ὅτι ἡ ἡδονὴ μέτρον ἐστὶν ἢ κανὼν τοῦ ἠθικοῦ ἀγαθοῦ καὶ κακοῦ· ἔστι γὰρ τέλος, ὅπερ ἐν τοῖς πρακτοῖς λόγον ἐπέχει ἀρχῆς, καθὸ μάλιστα λαμβάνεται ἡ κρίσις ὥσπερ ἀπὸ κανόνος ἢ μέτρου· καὶ ὅτι ἠρεμία ἐστίν, καὶ οὕτως ἀγαθὸς μέν, οὗ ἡ θέλησις ἠρεμεῖ ἐν τῷ ἀληθεῖ ἀγαθῷ· πονηρὸς δὲ αὖ, οὗ ἐν τῷ πονηρῷ.

## XXXV. — Περὶ ὀδύνης ἢ λύπης καθ᾽ αὑτήν.

1.-2. Περὶ τὸ πρῶτον δείκνυται, ὅτι ἡ ὀδύνη πάθος ἐστὶ τῆς ψυχῆς, εἴτουν ἡ λύπη, τοῦ Ἀποστόλου λέγοντος ἐν τῇ πρὸς Ῥωμαίους· „Λύπη μοί ἐστι πολλὴ καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ“· | εὐφροσύνη γὰρ καὶ f. 105v λύπη αἰτίαν ἔχουσι τὴν ἔνδον ἀντίληψιν· ἡ δὲ ἐκ τῆς ἔξωθεν ἀντιλήψεως, ἡδονὴ καὶ ἡδονή εἰσιν· τῆς δὲ ἔνδον ἀντιλήψεως ἐπὶ πλείω ἑαυτὴν ἐκτεινούσης διὰ τὸ τὰ τῇ ἔξωθεν ἀντιλήψει ὑποπίπτοντα καὶ τῇ ἔσω ὑποπίπτειν, καὶ οὐ τὸ ἀνάπαλιν, τὸ αὐτὸ καὶ τοῖς ὀνόμασι συμβαίνει τῶν παθῶν, καὶ οὕτως ἡ λύπη ὀδύνης τί ἐστιν εἶδος, ὥσπερ ἡ εὐφροσύνη τῆς ἡδονῆς.

3. Τρίτον, ὅτι ἡ ὀδύνη ἐναντιοῦται τῇ ἡδονῇ. Τὸ δὲ τὴν λύπην ἡδονῆς εἶναι αἰτίαν, ὡς ἐν τῷ· „Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται“, οὐ προσίσταται· οὐδὲν γὰρ κωλύει θάτερον τῶν ἐναντίων αἰτίαν εἶναι τοῦ λοιποῦ κατὰ συμβεβηκός· τὸ δὲ παρὸν πένθος ἐπὶ τὴν παράκλησιν ἄγει τῆς αἰωνίου ζωῆς, ἢ ὅτι πενθῶν ὑπὲρ τῶν ἁμαρτιῶν τις, ἢ ὑπὲρ τῆς ἀγάπης τῆς δόξης ἐκείνης τῆς αἰνωνίου παρακλήσεως ἀξιοῦται, ἢ ὅτι ὑπὲρ τοῦ ταύτης τυχεῖν οὐ φεύγει τὸ κόπους καὶ στενοχωρίας δι᾽ αὐτὴν ὑπομένειν· διχῶς γὰρ ἡ λύπη ἡδονῆς αἰτίας γίνεται οὕτως.

4. Τέταρτον, ὅτι τῇ τῆς θεωρίας ἡδονῇ οὐδεμία ἐναντία λύπη. Ἐν γὰρ ὀγδόῳ τῆς Σοφίας λέγεται· „Οὐκ ἔχει πικρίαν ἡ μετὰ τῆς σοφίας διατριβή, οὔτε τι ἀηδὲς ἡ πρὸς αὐτὴν ἕνωσις“. Τὸ δὲ τὴν κατὰ Θεὸν λύπην μετάνοιαν εἰς σωτηρίαν κατεργάζεσθαι οὐ προσίσταται· αὕτη γὰρ οὐ διὰ τὴν τοῦ Θεοῦ θεωρίαν ἐστίν, ἀλλ᾽ ἔστι περί τινος ἑτέρου, ὃ ἡ διάνοια θεωρεῖ, τουτέστι περὶ τῆς ἁμαρτίας, ὃ θεωρεῖ ἡ διάνοια ὡς ἐναντίον τῇ θείᾳ ἀγάπῃ.

5. Πέμπτον, ὅτι ἰσχυροτέρα τῆς ἡδονῆς ἡ ὄρεξις ἢ ἡ τῆς λύπης τῆς φυσικῆς, ὅτι καὶ τὸ ἀγαθὸν ἰσχυρότερον τοῦ κακοῦ, ὥς φησι Διονύσιος.

---

**11** Rom. 9, 2 **13-14** *ἡ δὲ ... ἡδονή εἰσιν* sic A, où l'on ne trouve pas de sens acceptable. Il faudrait, d'après le texte de S. Thomas: *ἡ δὲ ἡδονὴ καὶ ἡ ὀδύνη ἐκ τῆς ἔξωθεν ἀντιλήψεως εἰσίν* **20** Matth. 5, 5 **29** Sap. 8, 16

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

6. Ἕκτον, ὅτι ἡ ἔνδον ὀδύνη τῆς καρδίας μείζων ἐστὶ τῆς ἔξωθεν· τῆς γὰρ ἔξω οὔσης περὶ τῶν τῇ ζωῇ ἐναντιουμένων, αὕτη καὶ περὶ τούτων καὶ τῶν τῷ νοητῷ ἀγαθῷ ἐναντιουμένων ἐστίν, ἃ καὶ μόνα τῶν τῆς ζωῆς ἀγαθῶν αἱρετώτερα.

7. Ἕβδομον, ὅτι τέσσαρα εἴδη λύπης κατὰ τὸν Δαμασκηνόν· ἀκηδία, ἄχος εἴτουν ἀδημονία, ἔλεος καὶ φθόνος. Εἰ δὲ τοῦ ἐναντίου, τῆς ἡδονῆς, f. 106 οὐκ εἰσὶ πλείω εἴδη, | ἀλλ' ἡ μὲν ἡδονὴ αἴτιον ἔχει τὸ ἀγαθόν, ὃ μοναχῶς λέγεται· ἡ δὲ λύπη τὸ κακόν, ὃ ποικίλον ἐστίν, ὡς Διονύσιος ἐν τῷ περὶ θείων ὀνομάτων λέγει.

## XXXVI. — Περὶ τῶν αἰτίων τῆς λύπης.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ὅ τις ἀπέβαλεν ἀγαθὸν οὐκ ἔστιν αἴτιον τῆς λύπης μᾶλλον ἢ τὸ συνεζευγμένον κακόν· κατὰ γὰρ τὸν Δαμασκηνόν, τὸ προσδοκώμενον κακὸν τὸν φόβον συνίστησι· τὸ δὲ παρόν, τὴν λύπην· ἄλλως τε ἐπειδὴ ἡ λύπη ἐν ταῖς ἠθικαῖς ὀρέξεσιν ὡς φυγὴ καὶ ἀποχώρησις ἔχει, ἡ δὲ ἡδονὴ ὡς δίωξις ἢ προσχώρησις, ὥσπερ ἡ ἡδονὴ πρὸς τὸ ἀγαθὸν πρότερον ἀφορᾷ, οὗ τυχεῖν ἐπείγεται, οὕτω καὶ ἡ λύπη εἰς τὸ κακὸν ᾧ συνέζευκται· ὥσπερ καὶ ἐν ταῖς φυσικαῖς κινήσεσιν ἡ μὲν προσχώρησις καθ' αὑτὴν ὁρᾷ εἰς τὸ οἰκεῖον, ἡ δὲ ἀποχώρησις καθ' αὑτὴν εἰς τὸ ἐναντίον, ὥσπερ τὸ βαρὺ καθαυτὸ ἀποχωρεῖ ἀπὸ τοῦ ἄνω τόπου, προσχωρεῖ δὲ φύσει ἐπὶ τὸν κάτω.

2. Δεύτερον, ὅτι ἡ ἐπιθυμία ἐστὶν αἰτία ὀδύνης καὶ λύπης· ἡ γὰρ τῆς ὀρέξεως ῥοπὴ πρὸς τὸ τυχεῖν τοῦ ἀγαθοῦ αἰτία ἐστὶ τῆς ῥοπῆς, ᾗ φεύγομεν τὸ κακόν, κἀκ τούτου συμβαίνει τὰς εἰς τὸ ἀγαθὸν ἀφορώσας ὀρεκτικὰς κινήσεις αἰτίας λέγεσθαι τῶν κινήσεων τῆς ὀρέξεως, αἳ πρὸς τὸ κακὸν ἀφορῶσιν.

3. Τρίτον, ὅτι ἡ τῆς ἑνότητος ἔφεσις λύπης ἐστὶν αἰτία· ὀδύνη γὰρ οὐδέν ἐστιν ἄλλο ἢ αἴσθησις διαιρέσεως ἢ φθορᾶς ἐν τῷ πάσχοντι. Οὐκ ἔστι δὲ λύπης αἰτία ἡ τῆς τυχούσης ἑνότητος ἔφεσις, ἀλλ' ἐν ᾗ ἡ τῆς φύσεως τελειότης συνίσταται· τινὲς γὰρ ἑνότητες καὶ πληρώσεις οὐχ ἡδεῖαι, ὥσπερ αἱ τῶν σιτίων ἐν τοῖς πεπληρωμένοις ἀηδεῖς μὲν οὖν καὶ μαχόμεναι τῇ τοῦ πράγματος συστάσει καὶ τελειότητι.

4. Τέταρτον, ὅτι ἡ μείζων δύναμις αἰτία λύπης ἐστὶν καὶ αἰτία τῆς πρὸς τὸ κακὸν συναφείας, ὃ δὴ αἴτιον λύπης ὡς ἀντικείμενον, ὅταν ἐν τῷ ὀδυνωμένῳ μένῃ ἡ ἐπὶ τὸ ἐναντίον ῥοπὴ τῆς ὀρέξεως. Εἰ δὲ ἡ μείζων ἐπὶ τοσοῦτον ἰσχύσειεν ὥστε τὴν τῆς θελήσεως ἢ τῆς ὀρέξεως ῥοπὴν f. 106v ἀνελεῖν, | οὐδεμία ἂν εἴη βία καὶ μάχη, ὥστε οὐδὲ ὀδύνη· ὃ δῆλον ἐπὶ τῶν βαρέων σωμάτων, ἐν οἷς, φθαρείσης τῆς βαρύτητος ὑπὸ τοῦ δραστικωτέρου σώματος, τὸ ἄνω φέρεσθαι φυσικὸν γίνεται ἀντὶ τῆς ἐπὶ τὸ κάτω ῥοπῆς.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006